## Συναξάριον.

Τῇ ΚΕ΄ τοῦ αὐτοῦ μηνός, Ἡ κατὰ σάρκα Γέννησις τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

### Στίχοι.

Θεὸς τὸ τεχθέν, ἡ δὲ Μήτηρ Παρθένος.
Τί μεῖζον ἄλλο καινὸν εἶδεν ἡ κτίσις;

Παρθενικὴ Μαρίη Θεὸν εἰκάδι γείνατο πέμπτῃ.

Ἰδὼν ὁ φιλάνθρωπος Θεὸς τὸ γένος τῶν ἀνθρώπων ὑπὸ τοῦ διαβόλου τυραννούμενον, εὐσπλαγχνίσθη· καὶ ἀποστείλας τὸν Ἀρχάγγελον αὐτοῦ Γαβριήλ, εἶπε τῇ Θεοτόκῳ, τό, Χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ· καὶ εὐθέως συνελήφθη ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἐν τῇ ἀχράντῳ μήτρᾳ αὐτῆς. Καὶ πληρωθέντων τῶν ἐννέα μηνῶν ἀπὸ τῆς συλλήψεως αὐτῆς, ἐξῆλθεν ὁρισμὸς παρὰ Καίσαρος Αὐγούστου, ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην· καὶ ἀπεστάλη Κυρήνιος εἰς τὰ Ἱεροσόλυμα, καὶ ἐν Βηθλεέμ, ποιήσασθαι τὴν ἀπογραφήν. Ἀνέβη δὲ καὶ Ἰωσήφ, ὁ φύλαξ τῆς Θεοτόκου, σὺν αὐτῇ, τοῦ ἀπογραφῆναι ἐν Βηθλεέμ· καὶ ἐπεὶ ἔμελλε τίκτειν ἡ Παρθένος, μὴ εὑρίσκουσα οἴκημα, διὰ τὸν πολὺν λαόν, εἰσῆλθεν εἰς πενιχρὸν σπήλαιον· καὶ ἐκεῖ ἔτεκεν ἀφθόρως τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, καὶ ἐσπαργάνωσεν αὐτὸν ὡς βρέφος, καὶ ἐν τῇ τῶν ἀλόγων φάτνῃ ἀνέκλινε καὶ ἔθηκε τὸν τῶν ἁπάντων Κτίστην, ὡς μέλλοντα ῥύσασθαι ἡμᾶς τῆς ἀλογίας.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ προσκύνησις τῶν Μάγων.

### Στίχοι.

Σὲ προσκυνοῦσα τάξις ἐθνικὴ Λόγε,
Τὸ πρὸς σὲ δηλοῖ τῶν Ἐθνῶν μέλλον σέβας.

Ἐν ταῖς ἡμέραις ἐκείναις ἐγένετο Μάντις, λεγόμενος Βαλαάμ, ἐν τῇ τῶν Περσῶν χώρᾳ· καὶ μαντευόμενος καὶ ἄλλα πολλά, εἶπε καὶ τοῦτο· Ἀνατελεῖ ἄστρον ἐξ Ἰακώβ, καὶ θραύσει τοὺς ἀρχηγοὺς Μωάβ. Ἔχοντες οὖν οἱ ἄλλοι Μάντεις τὴν τοιαύτην προφητείαν κατὰ διαδοχήν, ἐδίδασκον πάντας τοὺς τῶν Περσῶν Βασιλεῖς· καὶ περιῆλθεν ἄχρι τούτων, τριῶν ὄντων, καὶ παρετήρουν, πότε ἴδωσιν ἀστέρα τοιοῦτον. Ὡς ἀστρονόμοι δέ, ἰδόντες τὸν τοῦ Χριστοῦ ἀστέρα, ὅτι οὐκ ἐποίει πορείαν, ὡς οἱ λοιποὶ ἀστέρες, ἀπὸ ἀνατολῶν πρὸς δύσιν, ἀλλ' ἀπὸ ἄρκτου πρὸς μεσημβρίαν, ἔγνωσαν, ὅτι γέννησιν μεγάλου Βασιλέως δηλοῖ· καὶ ἀκολουθήσαντες τῷ ἀστέρι, εὗρον Χριστὸν τὸν Κύριον· καὶ πεσόντες προσεκύνησαν αὐτῷ, καὶ προσήνεγκαν αὐτῷ δῶρα, χρυσόν, καὶ λίβανον, καὶ σμύρναν· καὶ οὕτω τῇ προστάξει τοῦ Ἀγγέλου, ὑπέστρεψαν εἰς τὴν χώραν αὐτῶν.

Μαθὼν δὲ Ἡρῴδης, ὁ τῶν Ἰουδαίων ἀρχηγός, παρὰ τῶν Μάγων, ὅτι Βασιλεὺς μέγας ἐγεννήθη, ὃς μέλλει τὸν κόσμον ὅλον ὑποτάξαι, προσεκαλέσατο τοὺς Μάγους λάθρα, καὶ εἶπεν· Ἀπελθόντες ἀκριβῶς ἐξετάσατε περὶ τοῦ Παιδίου· ἐπὰν δὲ εὕρητε, ἀπαγγείλατέ μοι, ὅπως κἀγὼ ἐλθών, προσκυνήσω αὐτῷ. Τοῦτο δὲ ἔλεγεν, ἵνα μάθῃ ποῦ ἐστι, καὶ ἀποστείλῃ καὶ φονεύσῃ αὐτό. Εἶτα, προσκαλεσάμενος τοὺς Γραμματεῖς, ἠρώτησε· Ποῦ λέγει ἡ Γραφὴ γεννηθήσεσθαι τὸν Χριστόν; Οἱ δὲ εἶπον· Ἐν Βηθλεὲμ τῆς Ἰουδαίας. Τότε ἀπέστειλε τὰ στρατεύματα αὐτοῦ φονεῦσαι τοὺς ἐν Βηθλεὲμ παῖδας ἀπὸ διετοῦς καὶ κατωτέρω. Διὰ τοῦτο ἀπεστάλη Ἄγγελος ἐκ Θεοῦ, καὶ εἶπε τῷ Ἰωσήφ· Ἐγερθείς, παράλαβε τὸ Παιδίον καὶ τὴν Μητέρα αὐτοῦ, καὶ φεῦγε εἰς Αἴγυπτον. Ὁ δὲ Ἰωσὴφ ἐποίησεν οὕτω· καὶ παραλαβὼν τὸ Παιδίον καὶ τὴν Μητέρα αὐτοῦ, ἀπῆλθεν εἰς Αἴγυπτον.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν θεασαμένων Ποιμένων τὸν Κύριον.

### Στίχοι.

Ποίμνην ἀφέντες τὴν ἑαυτῶν ποιμένες,
Ἰδεῖν καλὸν σπεύδουσι Χριστὸν ποιμένα.

Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.